**Storia della Lingua Greca – Laurea Magistrale – 21.10.2015**

**Eur. *Ph.* 528-585**

ΙΟΚΑΣΤΗ
ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ᾽ ἡμπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
Φιλοτιμίας, παῖ; μὴ σύ γ᾽· ἄδικος ἡ θεός·
πολλοὺς δ᾽ ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
ἐσῆλθε κἀξῆλθ᾽ ἐπ᾽ ὀλέθρῳ τῶν χρωμένων·
ἐφ᾽ ᾗ σὺ μαίνῃ. κεῖνο κάλλιον, τέκνον,
Ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
συνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,
τῷ πλέονι δ᾽ αἰεὶ πολέμιον καθίσταται
τοὔλασσον ἐχθρᾶς θ᾽ ἡμέρας κατάρχεται.
καὶ γὰρ μέτρ᾽ ἀνθρώποισι καὶ μέρη σταθμῶν
Ἰσότης ἔταξε κἀριθμὸν διώρισεν,
νυκτός τ᾽ ἀφεγγὲς βλέφαρον ἡλίου τε φῶς
ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,
κοὐδέτερον αὐτῶν φθόνον ἔχει νικώμενον.
εἶθ᾽ ἥλιος μὲν νύξ τε δουλεύει μέτροις,
σὺ δ᾽ οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον;
[καὶ τῷδ᾽ ἀπονεῖμαι; κᾆτα ποῦ ᾽στιν ἡ δίκη;]
τί τὴν τυραννίδ᾽, ἀδικίαν εὐδαίμονα,
τιμᾷς ὑπέρφευ καὶ μέγ᾽ ἥγησαι τόδε;
περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
ἢ πολλὰ μοχθεῖν πόλλ᾽ ἔχων ἐν δώμασιν
βούλῃ; τί δ᾽ ἔστι τὸ πλέον; ὄνομ᾽ ἔχει μόνον·
ἐπεὶ τά γ᾽ ἀρκοῦνθ᾽ ἱκανὰ τοῖς γε σώφροσιν.
[οὔτοι τὰ χρήματ᾽ ἴδια κέκτηνται βροτοί,
τὰ τῶν θεῶν δ᾽ ἔχοντες ἐπιμελούμεθα·
ὅταν δὲ χρῄζωσ᾽ αὔτ᾽ ἀφαιροῦνται πάλιν·
ὁ δ᾽ ὄλβος οὐ βέβαιος ἀλλ᾽ ἐφήμερος.]
ἄγ᾽, ἥν σ᾽ ἔρωμαι δύο λόγω προθεῖσ᾽ ἅμα,
πότερα τυραννεῖν ἢ πόλιν σῶσαι θέλεις,
ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ᾽ ὅδε
Ἀργεῖά τ᾽ ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ;
[ὄψῃ δαμασθὲν ἄστυ Θηβαίων τόδε,
ὄψῃ δὲ πολλὰς αἰχμαλωτίδας κόρας
βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.]
δαπανηρὸς ἆρ᾽ ὁ πλοῦτος ὃν ζητεῖς ἔχειν
[γενήσεται Θήβαισι, φιλότιμος δὲ σύ].
σοὶ μὲν τάδ᾽ αὐδῶ. σοὶ δέ, Πολύνεικες, λέγω·
ἀμαθεῖς Ἄδραστος χάριτας ἐς σ᾽ ἀνήψατο,
ἀσύνετα δ᾽ ἦλθες καὶ σὺ πορθήσων πόλιν.
φέρ᾽, ἢν ἕλῃς γῆν τήνδ᾽, ὃ μὴ τύχοι ποτέ,
πρὸς θεῶν, τροπαῖα πῶς ἄρα στήσεις Διί,
πῶς δ᾽ αὖ κατάρξῃ θυμάτων, ἑλὼν πάτραν,
καὶ σκῦλα γράψεις πῶς ἐπ᾽ Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς

ἀσπίδας ἔθηκε; μήποτ᾽, ὦ τέκνον, κλέος
τοιόνδε σοι γένοιθ᾽ ὑφ᾽ Ἑλλήνων λαβεῖν.
ἢν δ᾽ αὖ κρατηθῇς καὶ τὰ τοῦδ᾽ ὑπερδράμῃ,
πῶς Ἄργος ἥξεις μυρίους λιπὼν νεκρούς;
ἐρεῖ δὲ δή τις· ὦ κακὰ μνηστεύματα
Ἄδραστε προσθείς, διὰ μιᾶς νύμφης γάμον
ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
κείνων στέρεσθαι τῶνδέ τ᾽, ἐν μέσῳ πεσών.
μέθετον τὸ λίαν, μέθετον· ἀμαθία δυοῖν,
ἐς ταὔθ᾽ ὅταν μόλητον, ἔχθιστον κακόν.